## LXXVIII [127B., 138D.]

*Κρὴς γενεὰν Βρόταχος Γορτύνιος ἐνθάδε κεῖμαι,* 400
*οὐ κατὰ τοῦτ' ἐλθὼν ἀλλὰ κατ' ἐμπορίαν.*

## LXXIX [122B., 139D.]

*χαίρει τις, Θεόδωρος ἐπεὶ θάνον· ἄλλος ἐπ' αὐτῷ* 402
*χαιρήσει. θανάτῳ πάντες ὀφειλόμεθα.*

## LXXX [124^AB., 140D.]

*ἄνθρωπ', οὐ Κροίσου λεύσσεις τάφον· ἀλλὰ γὰρ ἀνδρός*
*χερνήτεω μικρὸς τύμβος, ἐμοὶ δ' ἱκανός.* 405

## LXXXI [124^BB., 131D.]

*οὐκ ἐπιδὼν νύμφεια λέχη κατέβην τὸν ἄφυκτον* 406
*Γόργιππος ξανθῆς Φερσεφόνης θάλαμον.*

## LXXXII [118B., 132D.]

*σῆμα Θεόγνιδός εἰμι Σινωπέος, ᾧ μ' ἐπέθηκεν* 408
*Γλαῦκος ἑταιρείης ἀντὶ πολυχρονίου.*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415776481/45 UNIVERSITÄT LEIPZIG